eul_wid: guo-aa

*Ἀριστοφάνης ὁ Βοιωτός* · Aristophanes of Boeotia

# Boeotian Histories and Legends

## *Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Αἰολική* Aeolic (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

**ΟΡΟΙ ΘΗΒΑΙΩΝ. Stephan.**

1 Byz.: Ἀντικονδυλεῖς, οἱ ἐν Βοιωτίᾳ Κολοίφρυγες, ὡς Ἀριστοφάνης ὁ τοὺς Θηβαίους ὅρους γεγραφώς. ΒΟΙΩΤΙΚΑ.

t2-5b E LIBRO SECUNDO. Stephan.

2 Byz.: Χαιρώνεια πόλις πρὸς τοῖς ὅροις Φωκίδος ... Ἀριστοφάνης ἐν Βοιωτικῶν δευτέρῳ· «Λέγεται δ’ οἰκιστὴν γενέσθαι τοῦ πολίσματος Χαίρωνα. Τοῦτον δὲ μυθολογοῦσιν Ἀπόλλωνος καὶ Θηροῦς, ὡς Ἑλλάνικος ἐν δευτέρῳ Ἱερέων Ἥρας. * Ἀθηναῖοι καὶ οἱ μετ’ αὐτῶν ἐπὶ τοὺς Ὀρχομενίζοντας τῶν Βοιωτῶν ἐπερχόμενοι Χαιρώνειαν πόλιν Ὀρχομενίων εἷλον.» Schol. [5]

3 Hesiod. Theog. 126: Ἀριστοφάνης ἐν τῇ [β′] βίβλῳ λέγει· «Ἀμφιτρύων γενναιότερον αὐτοῦ παῖδα γεννᾷ, ὅτε ἐπηυξήθη.» Plutarch.

4 De Herodoti mal. c. 31: Ἀριστοφάνους δὲ τοῦ Βοιωτοῦ γράψαντος, ὅτι χρήματα μὲν αἰτήσας οὐκ ἔλαβε (sc. Ἡρόδοτος) παρὰ Θηβαίων, ἐπιχειρῶν δὲ τοῖς νέοις διαλέγεσθαι καὶ συσχολάζειν, ὑπὸ τῶν ἀρχόντων ἐκωλύθη δι’ ἀγροικίαν αὐτῶν καὶ μισολογίαν, ἄλλο μὲν οὐδέν ἐστι τεκμήριον· ὁ δὲ Ἡρόδοτος τῷ Ἀριστοφάνει μεμαρτύρηκε, δι’ ὧν τὰ μὲν ψευδῶς, τὰ δὲ διὰ ** , τὰ δὲ ὡς μισῶν καὶ διαφερόμενος τοῖς Θηβαίοις ἐγκέκληκε. Idem ibid. [5]

5a c. 33: Οὔτε Λεοντιάδης ἐν Θερμοπύλαις ἦν στρατηγὸς, ἀλλ’ Ἀνάξανδρος, ὡς Ἀριστοφάνης ἐκ τῶν κατὰ ἄρχοντας ὑπομνημάτων ἱστόρησε, καὶ Νίκανδρος ὁ Κολοφώνιος· οὔτε γιγνώσκει τις ἀνθρώπων πρὸ Ἡροδότου στιχθέντας ὑπὸ Ξέρξου Θηβαίους. Schol. [5]

5b Aristoph. Vesp. 500: Δοκεῖ δὲ ἡ τυραννὶς (τῶν Πεισιστρατιδῶν) καταστῆναι, ὥς φησιν Ἐρατοσθένης, ἐπὶ ἔτη ν′, τοῦ ἀκριβοῦς διαμαρτάνων, Ἀριστοφάνους μὲν τεσσαράκοντα καὶ ἓν φήσαντος, Ἡροδότου δὲ ἓξ καὶ τριάκοντα. [5]